παῖδας ἄῤῥενας παιδεῦσαι, ἢ θυγατέρας παρθένους διαφυλάξαι, ἢ χρήματα διασῶσαι, ἆρ' ἀξιόπιστον εἰς ταῦτα ἡγησαίμεθ' ἂν τὸν ἀκρατῆ; δούλῳ δ' ἀκρατεῖ ἐπιτρέψαιμεν ἂν ἢ βοσκήματα ἢ ταμιεῖα ἢ ἔργων ἐπιστασίαν; διάκονον δὲ καὶ ἀγοραστὴν τὸν τοιοῦτον ἐθελήσαιμεν ἂν προῖκα λαβεῖν; Ἀλλὰ μὴν εἴ γε 3
μηδὲ δοῦλον ἀκρατῆ δεξαίμεθ' ἄν, πῶς οὐκ ἄξιον αὐτόν γε φυλάξασθαι τοιοῦτον γενέσθαι; καὶ γὰρ οὐχ, ὥσπερ οἱ πλεονέκται τῶν ἄλλων ἀφαιρούμενοι χρήματα ἑαυτοὺς δοκοῦσι πλουτίζειν, οὕτως ὁ ἀκρατὴς τοῖς μὲν ἄλλοις βλαβερὸς ἑαυτῷ δ' ὠφέλιμος, ἀλλὰ κακοῦργος μὲν τῶν ἄλλων, ἑαυτοῦ δὲ πολὺ κακουργότερος· εἴ γε κακουργότατόν ἐστι, μὴ μόνον τὸν οἶκον τὸν ἑαυτοῦ φθείρειν, ἀλλὰ καὶ τὸ σῶμα καὶ τὴν ψυχήν.
Ἐν συνουσίᾳ δὲ τίς ἂν ἥσθείη τῷ τοιούτῳ, ὃν εἰδείη τῷ 4
ὄψῳ τε καὶ τῷ οἴνῳ χαίροντα μᾶλλον ἢ τοῖς φίλοις, καὶ τὰς πόρνας ἀγαπῶντα μᾶλλον ἢ τοὺς ἑταίρους; ἆρά γε οὐ χρὴ πάντα ἄνδρα, ἡγησάμενον τὴν ἐγκράτειαν ἀρετῆς εἶναι κρηπῖδα, ταύτην πρῶτον ἐν τῇ ψυχῇ

§. 2. παῖδας ἄῤῥενας] Edd. vett. inferunt ἢ post παῖδας, minus recte.

ἡγησαίμεθ' ἂν] Vulgare ἡγησόμεθα ferri nequit. Hinc ex coniectura Mori apud Hindeburgium in ed. vltima edidit Ernestus ἡγησοίμεθα. Nos certam Stobaei lectionem expressimus. Vulgatam tenent Vatic. 1 et omnes Florentini Codd.

ταμιεῖα] Prae ταμεῖα placuit scriptura Iuntinae, Halens., Steph. sec., Stobaei et MS. 2: nam sic est Xen. de Re Eq. IV, 1, et comprobat analogia ταμιεύεσθαι, ταμίευμα, ταμιεία etc.

ἐπιστασίαν] In locum ἐπίστασιν, quod dubito an vspiam hoc sensu occurrat, substitui lectionem Stobaei et Brodaei. Suidas, ἐπιστασία, inquit, προστασία. Ἐπίστασις, γνῶσις· ἐπίστασις καὶ ἡ προσοχὴ, καὶ ἡ μίμησις etc.

τὸν τοιοῦτον] Recepi articulum τὸν non minus ob consensum Stobaei l. l. et Athenaei p. 171, quam vsum auctoris: v. c. §. 5: Cyrop. V, 5, 32 etc.

ἐθελήσαιμεν] Athen. l. l. θέλοιμεν, neglecto ἂν, minus eleganter.

§. 3. αὐτόν] Sic recte Parif. et Steph. pro vett. edd. αὑτόν. Caeterum intellige τινὰ seu ἕκαστον ἡμῶν.

εἴγε κακουργότατον] *Si quidem perniciosissimum est, vt nemo dubitat. Ern.*

§. 4. ὃν εἰδείη] Vitium edd. vett. ὀνείδη ἢ peperit in marg. Cast. coniecturam ineptam χαίροντι et ἀγαπῶντι pro accusatiuis illis genuinis.

πρῶτον] Stob. πρώτην.